# TEZAUR LITURGIC

## 1 FEBRUARIE

ISIDORA AGHIROTITISSA

# CANONUL SF.10 MUCENICI DE LA MEGARA

# I

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 01 ΦΕΒΡΟΥΑΡΙΟΥ

# ΜΕΓΑΡΩΝ 10 ΜΑΡΤΥΡΕΣ

# ΚΑΝΩΝ 01

**Ποίημα Ισιδώρας Μοναχής Αγιεροθεϊτίσσης**

Οὗ ἡ ἀκροστιχίς: *Ἀμνοὺς δέκα λογικούς, Μεγάρων πόλις θύει.*

*ᾨδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός. Ἀναστάσεως ἡμέρα.*

Ἀκατάληπτε Θεότης, ὁ Πατήρ, ὁ Υἱός. Πνεῦμα εὐθὲς καὶ θεῖον τὸ τῆς ψυχῆς μου τριμερές, τῆς Σῆς Χάριτος φωτί, Μαρτύρων λιταῖς, καταύγασον δέομαι, Τούτων μέλπειν τὰ τρόπαια.

Μεγαρέων ἐπαγάλλου, εὐσεβῶν ἡ πληθύς. ᾌδουσα χαρμοσύνως· τῶν Ἀθλοφόρων τὸν χορόν, τὸν ὑμνήσαντα Χριστόν, βασάνοις πικραῖς, βοῶσα τοῖς Μάρτυσι, Χαριτώνυμοι Χαίρετε.

Νύκτα πλάνης τῶν εἰδώλων, ἀπελάσαντες φῶς. Μάρτυρες δαδουχεῖτε, ὡς γὰρ ἀστέρες φαεινοί, ἀνατέλλοντες τῇ γῇ, ἀκτῖσι φαιδραῖς, πιστοὺς καταυγάζετε, ἐκ πηγῆς φωτοδότιδος.

*Θεοτοκίον.*

Οὐρανῶν Σὺ πλατυτέρα, χερουβὶμ τε Ἁγνή. Ὤφθης τιμιωτέρα, τὸν γὰρ ἀχώρητον παντί, τὸν ὑμνούμενον ἀεί, Ἀγγέλων χοροῖς, σαρκὶ ἀπεκύησας, Μητροπάρθενε Δέσποινα.

*Ὠδὴ γ΄. Ὁ Εἱρμός. Δεῦτε πόμα πίωμεν καινόν.*

Ὕψη θεοπτίας ἀκραιφνοῦς, Μαρτυρίου ταῖς πτέρυξιν ἐπεφθάσατε, διὸ ἀπαύστοις εὐχαῖς, ἐκ λάκκου πταισμάτων χαλεπῶν, ἡμᾶς ἀνυψώσατε.

Στέφος θείας δόξης Ἀθληταί, ἐκ χειρὸς Ζωοδότου λαμπρῶς ἐδέξασθε, διὸ στεφάνων ἡμᾶς, εἰς πάλην παθῶν φθοροποιῶν, καλῶς ἀξιώσατε.

Δῶρον τῷ Δεσπότῃ τοῦ παντός, ποταμοὺς τῶν αἱμάτων προσεκομίσατε, καὶ τὸν χειμάῤῥουν τρυφῆς, ἀφθόνως ἐπίετε διό, πιστοὺς καταρδεύετε.

*Θεοτοκίον.*

Ἔρεισμα καὶ τεῖχος ἀῤῥαγές, τὴν πρεσβείαν Σου Μῆτερ Ἁγνὴ κεκτήμεθα, ἐκ τῶν ἀσάρκων ἐχθρῶν, φυλάττουσα πάντας ἀβλαβεῖς, διό Σοι προστρέχομεν.

*Ὠδὴ δ΄. Ὁ Εἱρμός. Ἐπὶ τῆς θείας φυλακῆς.*

Κραταιωθέντες τοῦ Σταυροῦ, τῇ δυναστείᾳ διωκτῶν, κράτος οἱ ὁπλῖται καθεῖλον, νικηφόρα τρόπαια, ἐν τῷ σταδίῳ στήσαντες· λέγοντες τοῖς τυράννοις εὐτόλμως· Τὸν ἐν Τριάδι Θεόν, κατασπαζόμεθα.

Ἀνεπιστρόφῳ λογισμῷ, πρὸς τὰς αἰκίσεις τῆς σαρκός, δῆμος Ἀθλητῶν ηὐτομόλη, καὶ Χριστοῦ στομούμενοι, τῇ δροσοβόλῳ Χάριτι ἔφερον τὰς βασάνους ἡδέως, διὰ τὴν ὄντως ζωήν, οἱ καρτερόψυχοι.

Λατρεία ζῶσα τῷ Θεῷ, ὡς ἱερεῖα λογικά, ἤνεγκον οἱ θεῖοι ὁπλῖται, ἑαυτοὺς κραυγάζοντες, τῷ Σταυρωθέντι

Ἄνακτι, πρόσδεξαι καὶ ἡμῶν Πανοικτίρμον, τὴν τῶν αἱμάτων ῥοήν, ὡς ὁλοκάρπωμα.

*Θεοτοκίον.*

Ὄρος τὸ σύσκιον Ἁγνή, ὁ Ἀββακοὺμ σὲ προορᾷ, ὄρος Δανιὴλ δὲ σὲ εἶδε, ἐξ οὗ λίθος τέτμηται, ἄνευ χειρὸς Θεόνυμφε· Κύριος, Ὃν δυσώπει ἀπαύστως, σῶσαι ἡμᾶς ἐκ χειρὸς τοῦ πολεμήτορος.

*Ὠδὴ ε΄. Ὁ Εἱρμός. Ὀρθρίσωμεν ὄρθρου βαθέος.*

Γηθόμενοι πάντες ἐνθέως, τὴν τῶν Μαρτύρων δεκάδα τιμήσωμεν κατὰ χρέος, τὴν Χριστὸν τιμήσασαν, τὸν τοῖς οἰκείοις μέλεσι, πάθος Σταυροῦ ὑπομείναντα.

Τάσεων κρήνην πλουσίαν, καὶ τῶν θαυμάτων ὡς ῥεῖθρον κεκτήμεθα τῶν Μαρτύρων, τὴν σορὸν τὴν πάνσεπτον, τοῦ Παρακλήτου νέμουσα, Χάριν πιστοῖς ἀδαπάνητον.

Κηρύξαντες μέσον σταδίου, τὴν παναμώμητον πίστιν ὑπέμειναν τὰς βασάνους, ἀνδρικῶς οἱ Μάρτυρες, καὶ τῷ Σωτῆρι ἔκραζον, πλήν Σου Θεὸν οὐ γινώσκομεν.

*Θεοτοκίον.*

Ὁ τόκος σου ἄφθορε Κόρη, ἐκ τῶν βαράθρων τὸ γένος ἀνώρθωσε τῶν ἀνθρώπων, καὶ στολὴν ἐνέδυσε, τῆς ἀφθαρσίας ἅπαντας, ἄκρᾳ Αὐτοῦ ἀγαθότητι.

*ᾨδὴ στ΄. Ὁ Εἱρμός. Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς.*

Ὑστέροις καὶ χαλεπωτάτοις καιροῖς, ὡς θησαύρισμα σεπτὸν ἐπεφάνη. Λειψάνων ἡ πανευώδης σορός, καὶ ἐνέπλησε, θυμηδίας μυστικῆς, Μεγαρέων τὰ πλήθη.

Συμφώνως τὰς Μαρτυροπλόκους ᾠδάς, τῷ Δεσπόζοντι Θεῷ ἐμελώδει, Μαρτύρων τῶν δεκαρίθμων χορός, καὶ κατηύφρανε, τῇ ἀῤῥήτῳ χαρμονῇ, τῶν Ἀγγέλων χορείας.

Μεγάλῃ καὶ εὐτονωτάτῃ φωνῇ, ἐκηρύξατε Χριστὸν ἐν σταδίῳ, σαλπίγγων ὡς πανευήχων φθογγαί, καὶ διέδραμεν, εἰς τὰ πέρατα τῆς γῆς, Μαρτυρίου ὁ λόγος.

*Θεοτοκίον.*

Ἐν μήτρᾳ Σου καθαρωτάτῃ Ἁγνή, κατεσκήνωσε Θεὸς παραδόξως, ὑψώσαι τὸν πεπτωκότα Ἀδάμ, καὶ δωρήσασαθαι, τοῖς τιμῶσί σε πιστῶς, τοῦ ἐλέους τὰ ῥεῖθρα.

*ᾨδὴ ζ΄. Ὁ Εἱρμός. Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος.*

Γαλήνης ὡς λιμένας κεκτήμεθα, πανεύφημοι Μάρτυρες, τάφους τοὺς Ὑμῶν, οἷς προσελθόντες οἱ πιστοί, νοσημάτων τὴν ῥῶσιν λαμβάνομεν, τιμῶντες χρεωστικῶς Ἀθλοφόροι, Ὑμῶν τὰ ἀκροθίνια.

Ἀρνία ἑκουσίως ὡς ἄμωμα, προσήχθητε Μάρτυρες, Λόγῳ καὶ ἀμνῷ, ὃς ἐπὶ ξύλου τοῦ Σταυροῦ, ὑφαπλώσας παλάμας θελήματι, τὸ γένος τῶν γηγενῶν κατηλάγη. Πατρὶ τῷ πανοικτίρμονι.

Ῥανίσι τῶν αἱμάτων ἠρδεύσατε, πανένδοξοι Μάρτυρες, χθόνα ἱεράν, τὴν τῶν Μεγάρων ὡς κρουνοί, εὐλογίας καὶ θείας χρηστότητος, καὶ ὕδωρ ζωοποιοῦν ταῖς διψώσαις, ψυχαῖς ἐπιβραβεύετε.

*Θεοτοκίον.*

Ὡς θρόνος τοῦ Ὑψίστου Πανύμνητε. ἀγκάλαις ἐβάστασας, βρέφος τὸν Θεόν, ἀνερμηνεύτως δι᾽ ἡμᾶς, τὴν βροτείαν φορέσας ἀσθένειαν, Ὃν πάντες ὡς λυτρωτὴν εὐλογοῦμεν, ἀεὶ Σὲ μεγαλύνοντες.

*ᾨδὴ η΄. Ὁ Εἱρμός. Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα.*

Νᾶμα τὸ σεπτὸν ἀκενώτως δωρεῖσθε, ὡς βότρυες ἄχραντου, ζωοποιοῦ τε ἀμπέλου, καὶ πιστῶν τὰς ψυχάς, κατευφραίνετε ἀεὶ τῇ γλυκύτητι, Χριστὸν εὐλογούντων, εἰς πάντας τοὺς αἰῶνας.

Πεῖραν ἀλγηνῶν πολυτρόπων λαβόντες, ἀτρώτως τοῖς τυράννοις, οἱ Ἀθληταὶ ἐπεβόων, τὸν Θεὸν τοῦ παντός, τὸν ποιήσαντα ἡμᾶς οὐκ ἀρνούμεθα. Αὐτὸν προσκυνοῦμεν, πιστῶς εἰς τοὺς αἰῶνας.

Ὄρθρος φαεινὸς ἀνεσπέρου ἡμέρας, χορεία τῶν Μαρτύρων, ἡ δεκαυγὴς ἀνατέλλει, τῶν πιστῶν τὰς ψυχάς, καταυγάζουσα φωτὶ τῷ τῆς πίστεως, Χριστὸν δαδουχοῦσα, λαμπρῶς τῇ γῇ ἁπάσῃ.

*Θεοτοκίον.*

Λόγον τοῦ Πατρὸς ἐν γαστρί Σου ἐδέξω. τοῦ Πνεύματος Παρθένε, τοῦ παντουργοῦ ἐπελεύσει, καὶ χωρίον Σεμνή, καὶ παλάτιον λαμπρὸν ἀναδέδειξαι. Θεοῦ Ὃν δυσώσει, λιταῖς ταῖς Μητρικαῖς Σοῦυ

*Ὠδὴ θ΄. Ὁ Εἱρμός. Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ.*

Στίχος: *Μεγάλυνον ψυχή μου, τὴν σεπτὴν δεκάδα, τῶν Χριστοῦ Μαρτύρων, Μεγάρων μέγα κλέος.*

Ἰάκωβε, θεῖε, καὶ φωτοφόρε Σεραφείμ· θεηγόροι ὁπλῖται, καὶ κλεινὲ Δωρόθεε. Ἄνθη σεπτά, Ἐκκλησίας Χριστοῦ Χάριν ἡμῖν, θείων δωρημάτων, ἀδιαλείπτως κομίσασθε.

Στίχος: *Μεγάλυνον ψυχή μου, τοὺς στεῤῥοὺς ὁπλῖτας, τοὺς κεκοσμηκότας, Χριστοῦ τὴν Ἐκκλησίαν.*

Σαράντη, στεῤῥόφρον, ἀδάμας τῆς ὑπομονῆς· ὁ νικήσας γενναίως, τῶν τυράννων φάλαγγας. Κλέος λαμπρόν, τῶν συνάθλων Χριστοῦ σθένος ἡμῖν, πέμψον οὐρανόθεν, ἐν τοῖς ἐνθέοις παλαίσμασιν.

Στίχος: *Μεγάλυνον ψυχή μου τοὺς σεπτοὺς συνάθλους, τοῦ κληρωσαμένους τὴν ἄνω Βασιλείαν.*

Θεράποντες, θεῖοι, τοῦ Βασιλέως στρατηγοί· ὦ Δημήτριε μάκαρ, καὶ κλεινὲ Βασίλειε. Δότε ἡμῖν, εὐπροσδέκτοις εὐχαῖς· στέφος λαβεῖν, θείας Βασιλείας, ἐν τῇ ἀγήρῳ λαμπρότητι.

Στίχος: *Μεγάλυνον ψυχή μου, Μαρτύρων τὴν δεκάδα, τὴν φωταγωγούσαν, Μεγάρων τὴν Λυχνίαν.*

Ὑψίστου, οἱ λύχνοι. Πολύευκτε Ἀδριανέ· ἱερώτατε Πλάτων, καὶ σεπτὲ Γεώργιε. Φῶς τὸ γλυκύ, δαδουχοῦντες ἀεί· χεῖρας ὁμοῦ, ἄρατε τῷ θρόνῳ, τῆς Ἀρχιφώτου Θεότητος.

Στίχος: *Μεγάλυνον ψυχή μου, τὴν κλεινὴν δεκάδα, τὴν ἀεὶ φρουροῦσαν, τὴν πόλιν τῶν Μεγάρων.*

Εὐφραίνου, ἀγάλλου, πόλις Μεγάρων ἡ λαμπρά· σὲ φρουροῦσιν ἀπαύστως, ὡσεὶ τεῖχος ἄῤῥηκτον. Θεία δεκάς, τῶν Μαρτύρων Χριστοῦ οὓς οἱ πιστοί, ὕμνοις ἐγκωμίων, χρεωστικῶς εὐφημήσωμεν.

*Δόξα. Τριαδικόν.*

Στίχος: *Μεγάλυνον ψυχή μου τῆς τρισυπόστατου, καὶ ἀδιαιρέτου Θεότητος τὸ κράτος.*

Ἰσόῤῥοπον, κράτος, τῆς Μοναρχίας τῆς σεπτῆς· ὁ Πατὴρ ὁ Υἱός τε, σὺν τῷ θείῳ Πνεύματι. Πάντα κρατῶν, τῇ ἀχράντῳ χειρί· φῶς τριλαμπές, πάντων ταῖς καρδίαις, λιταῖς Μαρτύρων Σου δώρησαι.

*Καὶ νῦν. Θεοτοκίον.*

Στίχος: *Μεγάλυνον ψυχή μου τὴν τιμιωτέραν καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.*

Ἱκέτιδας, χεῖρας, ἀνάγαγε τῷ Σῷ Υἱῷ, Θεοτόκε Παρθένε, Μητρικῶς πρεσβεύουσα. Σθένος ἀεί, τοῦ διδόναι ἡμῖν λύσιν χρεῶν, χάριν καὶ εἰρήνην, καὶ τοῦ ἐλέους τὴν ἄβυσσον.

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τῶν Μαρτύρων δεκάδα, δεῦτε πάντες ὑμνήσωμεν, ἅμα Δωροθέῳ τῷ θείῳ, Σεραφεὶμ καὶ Ἰάκωβον Δημήτριον, Βασίλειον κλεινόν, Πολύευκτον καὶ Πλάτωνα ὁμοῦ· σὺν Σαράντῃ, Γεωργίῳ τε τῷ στεῤῥῷ, Ἀδριανὸν κραυγάζοντες· Χαίρετε Μάρτυρες Χριστοῦ, Χαίρετε πύργοι ἄσειστοι, πόλιν Μεγάρων ἀσφαλῶς, εὐχαῖς Ὑμῶν τειχίσατε.

*Δίστιχα.*

Ὡς εὔοσμον θυμίαμα καρδίας εὐγνωμόνου,
Μάρτυρες θεῖοι δέξασθε τὸ ταπεινόν μου Χαίρειν.

